# Αγνή Παρθένε

Ἁγνὴ Παρθένε Δέσποινα,
ἄχραντε Θεοτόκε,
[Χαῖρε νύμφη ἀνύμφευτε]

Παρθένε μήτηρ ἄνασσα,
πανένδροσέ τε πόκε.[Χαῖρε...]

Ὑψηλοτέρα οὐρανῶν
ἀκτίνων λαμπροτέρα, [Χαῖρε...]

Χαρὰ παρθενικῶν χορῶν
ἀγγέλων ὑπερτέρα.[Χαῖρε...]

Ἐκλαμπροτέρα οὐρανῶν,
φωτὸς καθαρωτέρα,[Χαῖρε...]

Τῶν οὐρανίων στρατιῶν,
πασῶν ἁγιωτέρα.[Χαῖρε...]

Μαρία ἀειπάρθενε
κόσμου παντὸς Κυρία, [Χαῖρε...]

Ἄχραντε νύμφη πάναγνε,
Δέσποινα Παναγία. [Χαῖρε...]

Μαρία νύμφη ἄνασσα,
χαρᾶς ἡμῶν αἰτία, [Χαῖρε...]

Κόρη σεμνή, Βασίλισσα,
Μήτηρ ὑπεραγία. [Χαῖρε...]

Τιμιωτέρα Χερουβίμ,
ὑπερενδοξοτέρα, [Χαῖρε...]

Τῶν ἀσωμάτων Σεραφίμ,
τῶν θρόνων ὑπερτέρα. [Χαῖρε...]

Χαῖρε τὸ ᾆσμα Χερουβίμ,
χαῖρε ὕμνος ἀγγέλων, [Χαῖρε...]

Χαῖρε ᾠδὴ τῶν Σεραφίμ,
χαρὰ τῶν ἀρχαγγέλων. [Χαῖρε...]

Χαῖρε εἰρήνη καὶ χαρά,
λιμὴν τῆς σωτηρίας, [Χαῖρε...]

Παστὰς τοῦ Λόγου ἱερά,
ἄνθος τῆς ἀφθαρσίας. [Χαῖρε...]

Χαῖρε παράδεισε τρυφῆς,
ζωῆς τε αἰωνίας. [Χαῖρε...]

Χαῖρε τὸ ξύλον τῆς ζωῆς,
πηγὴ ἀθανασίας. [Χαῖρε...]

Σὲ ἱκετεύω Δέσποινα,
σὲ νῦν ἐπικαλοῦμαι. [Χαῖρε...]

Σὲ δυσωπῶ Παντάνασσα,
σὴν χάριν ἐξαιτοῦμαι. [Χαῖρε...]

Κόρη σεμνὴ καὶ ἄσπιλε,
Δέσποινα Παναγία, [Χαῖρε...]

Θερμῶς ἐπικαλοῦμαί σε,
ναὲ ἡγιασμένε. [Χαῖρε...]

Ἀντιλαβοῦ μου, ῥῦσαί με
ἀπὸ τοῦ πολεμίου [Χαῖρε...]

Καὶ κληρονόμον δεῖξόν με
ζωῆς τῆς αἰωνίου. [Χαῖρε...]